# MALS 2022.2 The Septuagint

In this intensive course we will explore excerpts from the Septuagint, the Greek Old Testament. This is a body of texts mostly translated from original Hebrew and in some segments Aramaic compositions, supplemented by some original Greek works. It was produced over a period of up to four hundred years, from the third century BCE (when the Greek translation of the Pentateuch was probably made) down to as late as the second century CE. As an assemblage of texts composed by various individuals in various ways, and probably in a variety of speech communities, it amounts to a highly complex specimen of Koine Greek. From a linguistic perspective we have to be careful to avoid treating the corpus as if it is a single, unified compilation. Even the Pentateuch, a relatively homogeneous segment, is generally taken to be the work of five different translators.

The Septuagint is one of our most extensive surviving samples of Koine prose. We have reached a point where a series of detailed analyses, especially by scholars of the ‘Sydney School’ of Septuagint-language studies, has demonstrated that the linguistic evidence of the corpus can no longer be hived off and ignored, as it long was, on the grounds that its translation Greek has been heavily influenced by the source languages (or even—in the extreme and now outmoded form of the argument—that it represents a special Jewish ‘dialect’ of Greek). On the contrary, once the nature and extent of the Hebrew or Aramaic influence have been isolated these texts can potentially reveal a very large amount of valuable information about the Greek of their period. In the early twenty-first century the nature of Septuagint Greek is attracting intense interest and burgeoning afresh as a focus of study. We can anticipate many established ideas about Septuagint language to be challenged as a result, with important implications for numerous facets of our understanding of Koine Greek in general.

For the 2022 Winter Week we will consider contrasting genres and text-types from the Greek Pentateuch, specifically different types of prose and ‘poetic’ passages. We will aim to read Chs 24 and 49 from the book of Genesis, Ch. 15 from Exodus, and Chs 23, 24, and 33 from Numbers. At this stage we are making available Gen. 24 and the three chapters from Numbers. The remaining two chapters will be released in the coming days.

## LXX Genesis, Ch. 24

1 Καὶ Ἀβρααμ ἦν πρεσβύτερος προβεβηκὼς ἡμερῶν, καὶ κύριος εὐλόγησεν τὸν Ἀβρααμ κατὰ
πάντα. 2 καὶ εἶπεν Ἀβρααμ τῷ παιδὶ αὐτοῦ τῷ πρεσβυτέρῳ τῆς οἰκίας αὐτοῦ τῷ ἄρχοντι
πάντων τῶν αὐτοῦ Θὲς τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου, 3 καὶ ἐξορκιῶ σε κύριον τὸν θεὸν
τοῦ οὐρανοῦ καὶ τὸν θεὸν τῆς γῆς, ἵνα μὴ λάβῃς γυναῖκα τῷ υἱῷ μου Ἰσαακ ἀπὸ τῶν
θυγατέρων τῶν Χαναναίων, μεθ’ ὧν ἐγὼ οἰκῶ ἐν αὐτοῖς, 4 ἀλλ’ εἰς τὴν γῆν μου, οὗ ἐγενόμην,
πορεύσῃ καὶ εἰς τὴν φυλήν μου καὶ λήμψῃ γυναῖκα τῷ υἱῷ μου Ἰσαακ ἐκεῖθεν. 5 εἶπεν δὲ
πρὸς αὐτὸν ὁ παῖς Μήποτε οὐ βούλεται ἡ γυνὴ πορευθῆναι μετ’ ἐμοῦ ὀπίσω εἰς τὴν γῆν
ταύτην· ἀποστρέψω τὸν υἱόν σου εἰς τὴν γῆν, ὅθεν ἐξῆλθες ἐκεῖθεν; 6 εἶπεν δὲ πρὸς αὐτὸν
Ἀβραάμ Πρόσεχε σεαυτῷ, μὴ ἀποστρέψῃς τὸν υἱόν μου ἐκεῖ. 7 κύριος ὁ θεὸς τοῦ οὐρανοῦ
καὶ ὁ θεὸς τῆς γῆς, ὃς ἔλαβέν με ἐκ τοῦ οἴκου τοῦ πατρός μου καὶ ἐκ τῆς γῆς, ἧς ἐγενήθην,
ὃς ἐλάλησέν μοι καὶ ὤμοσέν μοι λέγων Σοὶ δώσω τὴν γῆν ταύτην καὶ τῷ σπέρματί σου,
αὐτὸς ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ ἔμπροσθέν σου, καὶ λήμψῃ γυναῖκα τῷ υἱῷ μου Ἰσαακ
ἐκεῖθεν. 8 ἐὰν δὲ μὴ θέλῃ ἡ γυνὴ πορευθῆναι μετὰ σοῦ εἰς τὴν γῆν ταύτην, καθαρὸς ἔσῃ ἀπὸ
τοῦ ὅρκου τούτου· μόνον τὸν υἱόν μου μὴ ἀποστρέψῃς ἐκεῖ. 9 καὶ ἔθηκεν ὁ παῖς τὴν χεῖρα
αὐτοῦ ὑπὸ τὸν μηρὸν Ἀβρααμ τοῦ κυρίου αὐτοῦ καὶ ὤμοσεν αὐτῷ περὶ τοῦ ῥήματος τούτου.

10 Καὶ ἔλαβεν ὁ παῖς δέκα καμήλους ἀπὸ τῶν καμήλων τοῦ κυρίου αὐτοῦ καὶ ἀπὸ πάντων
τῶν ἀγαθῶν τοῦ κυρίου αὐτοῦ μεθ’ ἑαυτοῦ, καὶ ἀναστὰς ἐπορεύθη εἰς τὴν Μεσοποταμίαν

εἰς τὴν πόλιν Ναχώρ. [11]καὶ ἐκοίμισεν τὰς καμήλους ἔξω τῆς πόλεως παρὰ τὸ φρέαρ τοῦ
ὕδατος τὸ πρὸς ὀψέ, ἡνίκα ἐκπορεύονται αἱ ὑδρευόμεναι. [12]καὶ εἶπεν Κύριε ὁ θεὸς τοῦ
κυρίου μου Ἀβραάμ, εὐόδωσον ἐναντίον ἐμοῦ σήμερον καὶ ποίησον ἔλεος μετὰ τοῦ κυρίου
μου Ἀβραάμ. [13]ἰδοὺ ἐγὼ ἕστηκα ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος, αἱ δὲ θυγατέρες τῶν οἰκούντων
τὴν πόλιν ἐκπορεύονται ἀντλῆσαι ὕδωρ, [14] καὶ ἔσται ἡ παρθένος, ᾗ ἂν ἐγὼ εἴπω Ἐπίκλινον
τὴν ὑδρίαν σου, ἵνα πίω, καὶ εἴπῃ μοι Πίε, καὶ τὰς καμήλους σου ποτιῶ, ἕως ἂν παύσωνται
πίνουσαι, ταύτην ἡτοίμασας τῷ παιδί σου Ἰσαάκ, καὶ ἐν τούτῳ γνώσομαι ὅτι ἐποίησας
ἔλεος τῷ κυρίῳ μου Ἀβραάμ. [15]καὶ ἐγένετο πρὸ τοῦ αὐτὸν συντελέσαι λαλοῦντα ἐν τῇ
διανοίᾳ, καὶ ἰδοὺ Ῥεβέκκα ἐξεπορεύετο, ἡ τεχθεῖσα Βαθουήλ, υἱῷ Μελχᾶς τῆς γυναικὸς
Ναχώρ, ἀδελφοῦ δὲ Ἀβραάμ, ἔχουσα τὴν ὑδρίαν ἐπὶ τῶν ὤμων. [16]ἡ δὲ παρθένος ἦν καλὴ τῇ
ὄψει σφόδρα· παρθένος ἦν, ἀνὴρ οὐκ ἔγνω αὐτήν. καταβᾶσα δὲ ἐπὶ τὴν πηγὴν ἔπλησεν τὴν
ὑδρίαν καὶ ἀνέβη. [17]ἐπέδραμεν δὲ ὁ παῖς εἰς συνάντησιν αὐτῇ καὶ εἶπεν Πότισόν με μικρὸν
ὕδωρ ἐκ τῆς ὑδρίας σου. [18]ἡ δὲ εἶπεν Πίε, κύριε. καὶ ἔσπευσεν καὶ καθεῖλεν τὴν ὑδρίαν ἐπὶ
τὸν βραχίονα αὐτῆς καὶ ἐπότισεν αὐτόν, [(19)]ἕως ἐπαύσατο πίνων. [19]καὶ εἶπεν Καὶ ταῖς
καμήλοις σου ὑδρεύσομαι, ἕως ἂν πᾶσαι πίωσιν. [20]καὶ ἔσπευσεν καὶ ἐξεκένωσεν τὴν ὑδρίαν
εἰς τὸ ποτιστήριον καὶ ἔδραμεν ἔτι ἐπὶ τὸ φρέαρ ἀντλῆσαι καὶ ὑδρεύσατο πάσαις ταῖς
καμήλοις. [21]ὁ δὲ ἄνθρωπος κατεμάνθανεν αὐτήν, καὶ παρεσιώπα τοῦ γνῶναι εἰ εὐόδωκεν
κύριος τὴν ὁδὸν αὐτοῦ ἢ οὔ. [22]ἐγένετο δὲ ἡνίκα ἐπαύσαντο πᾶσαι αἱ κάμηλοι πίνουσαι,
ἔλαβεν ὁ ἄνθρωπος ἐνώτια χρυσᾶ ἀνὰ δραχμὴν ὁλκῆς καὶ δύο ψέλια ἐπὶ τὰς χεῖρας αὐτῆς,
δέκα χρυσῶν ὁλκὴ αὐτῶν. [23]καὶ ἐπηρώτησεν αὐτὴν καὶ εἶπεν Θυγάτηρ τίνος εἶ; ἀνάγγειλόν
μοι· εἰ ἔστιν παρὰ τῷ πατρί σου τόπος ἡμῖν καταλῦσαι; [24]καὶ εἶπεν αὐτῷ Θυγάτηρ Βαθουήλ
εἰμι ἐγὼ τοῦ Μελχᾶς, ὃν ἔτεκεν τῷ Ναχώρ. [25]καὶ εἶπεν αὐτῷ Καὶ ἄχυρα καὶ χορτάσματα
πολλὰ παρ’ ἡμῖν καὶ τόπος τοῦ καταλῦσαι. [26]καὶ εὐδοκήσας ὁ ἄνθρωπος προσεκύνησεν
κυρίῳ [(27)]καὶ εἶπεν [27]Εὐλογητὸς κύριος ὁ θεὸς τοῦ κυρίου μου Ἀβραάμ, ὃς οὐκ ἐγκατέλιπεν
τὴν δικαιοσύνην αὐτοῦ καὶ τὴν ἀλήθειαν ἀπὸ τοῦ κυρίου μου· ἐμὲ εὐόδωκεν κύριος εἰς
οἶκον τοῦ ἀδελφοῦ τοῦ κυρίου μου.

[28]Καὶ δραμοῦσα ἡ παῖς ἀπήγγειλεν εἰς τὸν οἶκον τῆς μητρὸς αὐτῆς κατὰ τὰ ῥήματα ταῦτα.
[29]τῇ δὲ Ῥεβέκκᾳ ἀδελφὸς ἦν, ᾧ ὄνομα Λαβάν· καὶ ἔδραμεν Λαβὰν πρὸς τὸν ἄνθρωπον ἔξω
ἐπὶ τὴν πηγήν. [30]καὶ ἐγένετο ἡνίκα εἶδεν τὰ ἐνώτια καὶ τὰ ψέλια ἐπὶ τὰς χεῖρας τῆς
ἀδελφῆς αὐτοῦ, καὶ ὅτε ἤκουσεν τὰ ῥήματα Ῥεβέκκας τῆς ἀδελφῆς αὐτοῦ λεγούσης Οὕτως
λελάληκέν μοι ὁ ἄνθρωπος, καὶ ἦλθεν πρὸς τὸν ἄνθρωπον ἑστηκότος αὐτοῦ ἐπὶ τῶν
καμήλων ἐπὶ τῆς πηγῆς, [31]καὶ εἶπεν αὐτῷ Δεῦρο εἴσελθε· εὐλογητὸς κύριος· ἵνα τί ἕστηκας
ἔξω; ἐγὼ δὲ ἡτοίμακα τὴν οἰκίαν καὶ τόπον ταῖς καμήλοις. [32]εἰσῆλθεν δὲ ὁ ἄνθρωπος εἰς
τὴν οἰκίαν καὶ ἀπέσαξεν τὰς καμήλους. καὶ ἔδωκεν ἄχυρα καὶ χορτάσματα ταῖς καμήλοις,
καὶ ὕδωρ νίψασθαι τοῖς ποσὶν αὐτοῦ καὶ τοῖς ποσὶν τῶν ἀνδρῶν τῶν μετ’ αὐτοῦ. [33]καὶ
παρέθηκεν αὐτοῖς ἄρτους φαγεῖν. καὶ εἶπεν Οὐ μὴ φάγω ἕως τοῦ λαλῆσαί με τὰ ῥήματά
μου. καὶ εἶπαν Λάλησον.

[34]Καὶ εἶπεν Παῖς Ἀβραὰμ ἐγώ εἰμι. [35]κύριος δὲ εὐλόγησεν τὸν κύριόν μου σφόδρα, καὶ
ὑψώθη· καὶ ἔδωκεν αὐτῷ πρόβατα καὶ μόσχους καὶ ἀργύριον καὶ χρυσίον καὶ παῖδας καὶ
παιδίσκας, καμήλους καὶ ὄνους. [36]καὶ ἔτεκεν Σαρρα ἡ γυνὴ τοῦ κυρίου μου υἱὸν ἕνα τῷ
κυρίῳ μου μετὰ τὸ γηρᾶσαι αὐτόν, καὶ ἔδωκεν αὐτῷ ὅσα ἦν αὐτῷ. [37]καὶ ὥρκισέν με ὁ κύριός
μου λέγων Οὐ λήμψῃ γυναῖκα τῷ υἱῷ μου ἀπὸ τῶν θυγατέρων τῶν Χαναναίων, ἐν οἷς ἐγὼ
παροικῶ ἐν τῇ γῇ αὐτῶν, [38]ἀλλ’ ἢ εἰς τὸν οἶκον τοῦ πατρός μου πορεύσῃ καὶ εἰς τὴν φυλήν
μου καὶ λήμψῃ γυναῖκα τῷ υἱῷ μου ἐκεῖθεν. [39]εἶπα δὲ τῷ κυρίῳ μου Μήποτε οὐ πορεύσεται
ἡ γυνὴ μετ’ ἐμοῦ. [40]καὶ εἶπέν μοι Κύριος, ᾧ εὐηρέστησα ἐναντίον αὐτοῦ, αὐτὸς ἀποστελεῖ
τὸν ἄγγελον αὐτοῦ μετὰ σοῦ καὶ εὐοδώσει τὴν ὁδόν σου, καὶ λήμψῃ γυναῖκα τῷ υἱῷ μου ἐκ
τῆς φυλῆς μου καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός μου. [41]τότε ἀθῷος ἔσῃ ἀπὸ τῆς ἀρᾶς μου· ἡνίκα
γὰρ ἐὰν ἔλθῃς εἰς τὴν ἐμὴν φυλὴν καὶ μή σοι δῶσιν, καὶ ἔσῃ ἀθῷος ἀπὸ τοῦ ὁρκισμοῦ μου.
[42]καὶ ἐλθὼν σήμερον ἐπὶ τὴν πηγὴν εἶπα Κύριε ὁ θεὸς τοῦ κυρίου μου Ἀβραάμ, εἰ σὺ εὐοδοῖς

τὴν ὁδόν μου, ἣν νῦν ἐγὼ πορεύομαι ἐπ’ αὐτήν, 43ἰδοὺ ἐγὼ ἐφέστηκα ἐπὶ τῆς πηγῆς τοῦ
ὕδατος, αἱ δὲ θυγατέρες τῶν ἀνθρώπων τῆς πόλεως ἐξελεύσονται ὑδρεύσασθαι ὕδωρ, καὶ
ἔσται ἡ παρθένος, ᾗ ἂν ἐγὼ εἴπω Πότισόν με μικρὸν ὕδωρ ἐκ τῆς ὑδρίας σου, 44καὶ εἴπῃ μοι
Καὶ σὺ πίε, καὶ ταῖς καμήλοις σου ὑδρεύσομαι, αὕτη ἡ γυνή, ἣν ἡτοίμασεν κύριος τῷ
ἑαυτοῦ θεράποντι Ἰσαάκ, καὶ ἐν τούτῳ γνώσομαι ὅτι πεποίηκας ἔλεος τῷ κυρίῳ μου
Ἀβραάμ. 45καὶ ἐγένετο πρὸ τοῦ συντελέσαι με λαλοῦντα ἐν τῇ διανοίᾳ εὐθὺς Ῥεβέκκα
ἐξεπορεύετο ἔχουσα τὴν ὑδρίαν ἐπὶ τῶν ὤμων, καὶ κατέβη ἐπὶ τὴν πηγὴν καὶ ὑδρεύσατο.
εἶπα δὲ αὐτῇ Πότισόν με. 46καὶ σπεύσασα καθεῖλεν τὴν ὑδρίαν ἀφ’ ἑαυτῆς καὶ εἶπεν Πίε
σύ, καὶ τὰς καμήλους σου ποτιῶ. καὶ ἔπιον, καὶ τὰς καμήλους μου ἐπότισεν. 47καὶ ἠρώτησα
αὐτὴν καὶ εἶπα Τίνος εἶ θυγάτηρ; ἡ δὲ ἔφη Θυγάτηρ Βαθουὴλ εἰμι τοῦ υἱοῦ Ναχώρ, ὃν
ἔτεκεν αὐτῷ Μελχά. καὶ περιέθηκα αὐτῇ τὰ ἐνώτια καὶ τὰ ψέλια περὶ τὰς χεῖρας αὐτῆς·
48καὶ εὐδοκήσας προσεκύνησα κυρίῳ, καὶ εὐλόγησα κύριον τὸν θεὸν τοῦ κυρίου μου
Ἀβραάμ, ὃς εὐόδωσέν μοι ἐν ὁδῷ ἀληθείας λαβεῖν τὴν θυγατέρα τοῦ ἀδελφοῦ τοῦ κυρίου
μου τῷ υἱῷ αὐτοῦ. 49εἰ οὖν ποιεῖτε ὑμεῖς ἔλεος καὶ δικαιοσύνην πρὸς τὸν κύριόν μου,
ἀπαγγείλατέ μοι, εἰ δὲ μή, ἀπαγγείλατέ μοι, ἵνα ἐπιστρέψω εἰς δεξιὰν ἢ εἰς ἀριστεράν.

50Ἀποκριθεὶς δὲ Λαβὰν καὶ Βαθουὴλ εἶπαν Παρὰ κυρίου ἐξῆλθεν τὸ πρόσταγμα τοῦτο· οὐ
δυνησόμεθα οὖν σοι ἀντειπεῖν κακὸν καλῷ. 51ἰδοὺ Ῥεβέκκα ἐνώπιόν σου· λαβὼν ἀπότρεχε,
καὶ ἔστω γυνὴ τῷ υἱῷ τοῦ κυρίου σου, καθὰ ἐλάλησεν κύριος. 52ἐγένετο δὲ ἐν τῷ ἀκοῦσαι
τὸν παῖδα τὸν Ἀβραὰμ τῶν ῥημάτων αὐτῶν προσεκύνησεν ἐπὶ τὴν γῆν κυρίῳ. 53καὶ
ἐξενέγκας ὁ παῖς σκεύη ἀργυρᾶ καὶ χρυσᾶ καὶ ἱματισμὸν ἔδωκεν Ῥεβέκκᾳ καὶ δῶρα
ἔδωκεν τῷ ἀδελφῷ αὐτῆς καὶ τῇ μητρί. 54καὶ ἔφαγον καὶ ἔπιον, αὐτὸς καὶ οἱ ἄνδρες οἱ μετ’
αὐτοῦ ὄντες, καὶ ἐκοιμήθησαν.

Καὶ ἀναστὰς πρωὶ εἶπεν Ἐκπέμψατέ με, ἵνα ἀπέλθω πρὸς τὸν κύριόν μου. 55εἶπαν δὲ οἱ
ἀδελφοὶ αὐτῆς καὶ ἡ μήτηρ Μεινάτω ἡ παρθένος μεθ’ ἡμῶν ἡμέρας ὡσεὶ δέκα, καὶ μετὰ
ταῦτα ἀπελεύσεται. 56ὁ δὲ εἶπεν πρὸς αὐτούς Μὴ κατέχετέ με, καὶ κύριος εὐόδωσεν τὴν
ὁδόν μου· ἐκπέμψατέ με, ἵνα ἀπέλθω πρὸς τὸν κύριόν μου. 57οἱ δὲ εἶπαν Καλέσωμεν τὴν
παῖδα καὶ ἐρωτήσωμεν τὸ στόμα αὐτῆς. 58καὶ ἐκάλεσαν Ῥεβέκκαν καὶ εἶπαν αὐτῇ
Πορεύσῃ μετὰ τοῦ ἀνθρώπου τούτου; ἡ δὲ εἶπεν Πορεύσομαι. 59καὶ ἐξέπεμψαν Ῥεβέκκαν
τὴν ἀδελφὴν αὐτῶν καὶ τὰ ὑπάρχοντα αὐτῆς, καὶ τὸν παῖδα τὸν Ἀβραὰμ καὶ τοὺς μετ’
αὐτοῦ. 60καὶ εὐλόγησαν Ῥεβέκκαν τὴν ἀδελφὴν αὐτῶν καὶ εἶπαν αὐτῇ Ἀδελφὴ ἡμῶν
εἶ·γίνου εἰς χιλιάδας μυριάδων, καὶ κληρονομησάτω τὸ σπέρμα σου τὰς πόλεις τῶν
ὑπεναντίων. 61ἀναστᾶσα δὲ Ῥεβέκκα καὶ αἱ ἅβραι αὐτῆς ἐπέβησαν ἐπὶ τὰς καμήλους, καὶ
ἐπορεύθησαν μετὰ τοῦ ἀνθρώπου, καὶ ἀναλαβὼν ὁ παῖς τὴν Ῥεβέκκαν ἀπῆλθεν. 62Ἰσαὰκ δὲ
ἐπορεύετο διὰ τῆς ἐρήμου κατὰ τὸ φρέαρ τῆς ὁράσεως· αὐτὸς δὲ κατῴκει ἐν τῇ γῇ τῇ πρὸς
λίβα. 63καὶ ἐξῆλθεν Ἰσαὰκ ἀδολεσχῆσαι εἰς τὸ πεδίον τὸ πρὸς δείλης καὶ ἀναβλέψας τοῖς
ὀφθαλμοῖς εἶδεν καμήλους ἐρχομένας. 64καὶ ἀναβλέψασα Ῥεβέκκα τοῖς ὀφθαλμοῖς εἶδεν
τὸν Ἰσαὰκ καὶ κατεπήδησεν ἀπὸ τῆς καμήλου 65καὶ εἶπεν τῷ παιδί Τίς ἐστιν ὁ ἄνθρωπος
ἐκεῖνος ὁ πορευόμενος ἐν τῷ πεδίῳ εἰς συνάντησιν ἡμῖν; εἶπεν δὲ ὁ παῖς Οὗτός ἐστιν ὁ
κύριός μου. ἡ δὲ λαβοῦσα τὸ θέριστρον περιεβάλετο. 66καὶ διηγήσατο ὁ παῖς τῷ Ἰσαὰκ
πάντα τὰ ῥήματα, ἃ ἐποίησεν. 67εἰσῆλθεν δὲ Ἰσαὰκ εἰς τὸν οἶκον τῆς μητρὸς αὐτοῦ καὶ
ἔλαβεν τὴν Ῥεβέκκαν, καὶ ἐγένετο αὐτοῦ γυνή, καὶ ἠγάπησεν αὐτήν· καὶ παρεκλήθη
Ἰσαὰκ περὶ Σάρρας τῆς μητρὸς αὐτοῦ.

## LXX Numbers, Chs 23–24

### 23

1καὶ εἶπεν Βαλαὰμ τῷ Βαλάκ Οἰκοδόμησόν μοι ἐνταῦθα ἑπτὰ βωμοὺς καὶ ἑτοίμασόν μοι
ἐνταῦθα ἑπτὰ μόσχους καὶ ἑπτὰ κριούς. 2καὶ ἐποίησεν Βαλὰκ ὃν τρόπον εἶπεν αὐτῷ

Βαλαάμ, καὶ ἀνήνεγκεν μόσχον καὶ κριὸν ἐπὶ τὸν βωμόν. 3καὶ εἶπεν Βαλαὰμ πρὸς Βαλάκ
Παράστηθι ἐπὶ τῆς θυσίας σου, καὶ πορεύσομαι, εἴ μοι φανεῖται ὁ θεὸς ἐν συναντήσει, καὶ
ῥῆμα, ὃ ἄν μοι δείξῃ, ἀναγγελῶ σοι. καὶ παρέστη Βαλὰκ ἐπὶ τῆς θυσίας αὐτοῦ, καὶ Βαλαὰμ
ἐπορεύθη ἐπερωτῆσαι τὸν θεὸν καὶ ἐπορεύθη εὐθεῖαν. 4καὶ ἐφάνη ὁ θεὸς τῷ Βαλαάμ, καὶ
εἶπεν πρὸς αὐτὸν Βαλαάμ Τοὺς ἑπτὰ βωμοὺς ἡτοίμασα καὶ ἀνεβίβασα μόσχον καὶ κριὸν ἐπὶ
τὸν βωμόν. 5καὶ ἐνέβαλεν ὁ θεὸς ῥῆμα εἰς τὸ στόμα Βαλαάμ, καὶ εἶπεν Ἐπιστραφεὶς πρὸς
Βαλὰκ οὕτως λαλήσεις. 6καὶ ἀπεστράφη πρὸς αὐτόν, καὶ ὅδε ἐφειστήκει ἐπὶ τῶν
ὁλοκαυτωμάτων αὐτοῦ, καὶ πάντες οἱ ἄρχοντες Μωὰβ μετ' αὐτοῦ. (7)καὶ ἐγενήθη πνεῦμα
θεοῦ ἐπ' αὐτῷ, 7καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ εἶπεν

Ἐκ Μεσοποταμίας μετεπέμψατό με Βαλάκ,
βασιλεὺς Μωὰβ ἐξ ὀρέων ἀπ' ἀνατολῶν λέγων
Δεῦρο ἄρασαί μοι τὸν Ἰακώβ,
καὶ δεῦρο ἐπικατάρασαί μοι τὸν Ἰσραήλ.
8τί ἀράσομαι ὃν μὴ ἀρᾶται κύριος,
ἢ τί καταράσομαι ὃν μὴ καταρᾶται ὁ θεός;
9ὅτι ἀπὸ κορυφῆς ὀρέων ὄψομαι αὐτὸν,
καὶ ἀπὸ βουνῶν προσνοήσω αὐτόν.
ἰδοὺ λαὸς μόνος κατοικήσει,
καὶ ἐν ἔθνεσιν οὐ συλλογισθήσεται.
10τίς ἐξηκριβάσατο τὸ σπέρμα Ἰακώβ,
καὶ τίς ἐξαριθμήσεται δήμους Ἰσραήλ;
ἀποθάνοι ἡ ψυχή μου ἐν ψυχαῖς δικαίων,
καὶ γένοιτο τὸ σπέρμα μου ὡς τὸ σπέρμα τούτων.
11καὶ εἶπεν Βαλὰκ πρὸς Βαλαάμ Τί πεποίηκάς μοι; εἰς κατάρασιν
ἐχθρῶν μου κέκληκά σε, καὶ ἰδοὺ εὐλόγηκας εὐλογίαν. 12καὶ εἶπεν Βαλαὰμ πρὸς Βαλάκ
Οὐχὶ ὅσα ἂν ἐμβάλῃ ὁ θεὸς εἰς τὸ στόμα μου, τοῦτο φυλάξω λαλῆσαι;

13Καὶ εἶπεν πρὸς αὐτὸν Βαλάκ Δεῦρο ἔτι μετ' ἐμοῦ εἰς τόπον ἄλλον, ἐξ ὧν οὐκ ὄψῃ αὐτὸν
ἐκεῖθεν, ἀλλ' ἢ μέρος τι αὐτοῦ ὄψῃ, πάντας δὲ οὐ μὴ ἴδῃς, καὶ κατάρασαί μοι αὐτὸν
ἐκεῖθεν. 14καὶ παρέλαβεν αὐτὸν εἰς ἀγροῦ σκοπιὰν ἐπὶ κορυφὴν λελαξευμένου, καὶ
ᾠκοδόμησεν ἐκεῖ ἑπτὰ βωμοὺς καὶ ἀνεβίβασεν μόσχον καὶ κριὸν ἐπὶ τὸν βωμόν. 15καὶ εἶπεν
Βαλαὰμ πρὸς Βαλάκ Παράστηθι ἐπὶ τῆς θυσίας σου, ἐγὼ δὲ πορεύσομαι ἐπερωτῆσαι τὸν
θεόν. 16καὶ συνήντησεν ὁ θεὸς τῷ Βαλαὰμ καὶ ἐνέβαλεν ῥῆμα εἰς τὸ στόμα αὐτοῦ καὶ εἶπεν
Ἀποστράφητι πρὸς Βαλάκ, καὶ τάδε λαλήσεις. 17καὶ ἀπεστράφη πρὸς αὐτόν, καὶ ὅδε
ἐφειστήκει ἐπὶ τῆς ὁλοκαυτώσεως αὐτοῦ, καὶ πάντες οἱ ἄρχοντες Μωὰβ μετ' αὐτοῦ. καὶ
εἶπεν αὐτῷ Βαλάκ Τί ἐλάλησεν κύριος; 18καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ εἶπεν

Ἀνάστηθι, Βαλάκ, καὶ ἄκουε·
ἐνώτισαι μάρτυς, υἱὸς Σεπφώρ.
19οὐχ ὡς ἄνθρωπος ὁ θεὸς διαρτηθῆναι
οὐδὲ ὡς υἱὸς ἀνθρώπου ἀπειληθῆναι·
αὐτὸς εἴπας οὐχὶ ποιήσει;
λαλήσει, καὶ οὐχὶ ἐμμενεῖ;
20ἰδοὺ εὐλογεῖν παρείλημμαι·
εὐλογήσω καὶ οὐ μὴ ἀποστρέψω.
21οὐκ ἔσται μόχθος ἐν Ἰακώβ,
οὐδὲ ὀφθήσεται πόνος ἐν Ἰσραήλ·
κύριος ὁ θεὸς αὐτοῦ μετ' αὐτοῦ,
τὰ ἔνδοξα ἀρχόντων ἐν αὐτῷ.
22θεὸς ὁ ἐξαγαγὼν αὐτοὺς ἐξ Αἰγύπτου·
ὡς δόξα μονοκέρωτος αὐτῷ.

[23]οὐ γάρ ἐστιν οἰωνισμὸς ἐν Ἰακώβ,
οὐδὲ μαντεία ἐν Ἰσραήλ·
κατὰ καιρὸν ῥηθήσεται Ἰακὼβ καὶ τῷ Ἰσραήλ,
τί ἐπιτελέσει ὁ θεός.
[24]ἰδοὺ λαὸς ὡς σκύμνος ἀναστήσεται,
καὶ ὡς λέων γαυριωθήσεται·
οὐ κοιμηθήσεται, ἕως ἂν φάγῃ θήραν,
καὶ αἷμα τραυματιῶν πίεται.

[25]καὶ εἶπεν Βαλὰκ πρὸς Βαλαάμ Οὔτε κατάραις καταράσῃ μοι αὐτόν, οὔτε εὐλογῶν μὴ
εὐλογήσῃς αὐτόν. [26]καὶ ἀποκριθεὶς Βαλαὰμ εἶπεν τῷ Βαλάκ Οὐκ ἐλάλησά σοι λέγων Τὸ
ῥῆμα, ὃ ἂν λαλήσῃ ὁ θεός, τοῦτο ποιήσω;

[27]Καὶ εἶπεν Βαλὰκ πρὸς Βαλαάμ Δεῦρο παραλάβω σε εἰς τόπον ἄλλον, εἰ ἀρέσει τῷ θεῷ καὶ
κατάρασαί μοι αὐτὸν ἐκεῖθεν. [28]καὶ παρέλαβεν Βαλὰκ τὸν Βαλαὰμ ἐπὶ κορυφὴν τοῦ
Φογώρ, τὸ παρατεῖνον εἰς τὴν ἔρημον. [29]καὶ εἶπεν Βαλαὰμ πρὸς Βαλάκ Οἰκοδόμησόν μοι
ὧδε ἑπτὰ βωμούς, καὶ ἑτοίμασόν μοι ὧδε ἑπτὰ μόσχους καὶ ἑπτὰ κριούς. [30]καὶ ἐποίησεν
Βαλὰκ καθάπερ εἶπεν αὐτῷ Βαλαάμ, καὶ ἀνήνεγκεν μόσχον καὶ κριὸν ἐπὶ τὸν βωμόν.

**24**

[1]Καὶ ἰδὼν Βαλαὰμ ὅτι καλόν ἐστιν ἔναντι κυρίου εὐλογεῖν τὸν Ἰσραήλ, οὐκ ἐπορεύθη κατὰ
τὸ εἰωθὸς εἰς συνάντησιν τοῖς οἰωνοῖς καὶ ἀπέστρεψεν τὸ πρόσωπον αὐτοῦ εἰς τὴν ἔρημον.
[2]καὶ ἐξάρας Βαλαὰμ τοὺς ὀφθαλμοὺς αὐτοῦ καθορᾷ τὸν Ἰσραὴλ ἐστρατοπεδευκότα κατὰ
φυλάς. καὶ ἐγένετο πνεῦμα θεοῦ ἐν αὐτῷ, [3]καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ εἶπεν

Φησὶν Βαλαὰμ υἱὸς Βεώρ,
φησὶν ὁ ἄνθρωπος ὁ ἀληθινῶς ὁρῶν,
[4]φησὶν ἀκούων λόγια θεοῦ,
ὅστις ὅρασιν θεοῦ εἶδεν
ἐν ὕπνῳ, ἀποκεκαλυμμένοι οἱ ὀφθαλμοὶ αὐτοῦ
[5]Ὡς καλοί σου οἱ οἶκοι, Ἰακώβ,
αἱ σκηναί σου, Ἰσραήλ·
[6]ὡσεὶ νάπαι σκιάζουσαι,
καὶ ὡσεὶ παράδεισοι ἐπὶ ποταμῶν,
καὶ ὡσεὶ σκηναί, ἃς ἔπηξεν κύριος,
ὡσεὶ κέδροι παρ᾽ ὕδατα.
[7]ἐξελεύσεται ἄνθρωπος ἐκ τοῦ σπέρματος αὐτοῦ,
καὶ κυριεύσει ἐθνῶν πολλῶν,
καὶ ὑψωθήσεται ἢ Γὼγ βασιλεία αὐτοῦ,
καὶ αὐξηθήσεται ἡ βασιλεία αὐτοῦ.
[8]θεὸς ὡδήγησεν αὐτὸν ἐξ Αἰγύπτου,
ὡς δόξα μονοκέρωτος αὐτῷ·
ἔδεται ἔθνη ἐχθρῶν αὐτοῦ,
καὶ τὰ πάχη αὐτῶν ἐκμυελιεῖ,
καὶ ταῖς βολίσιν αὐτοῦ κατατοξεύσει ἐχθρόν.
[9]κατακλιθεὶς ἀνεπαύσατο ὡς λέων καὶ ὡς σκύμνος·
τίς ἀναστήσει αὐτόν;
οἱ εὐλογοῦντές σε εὐλόγηνται,
καὶ οἱ καταρώμενοί σε κεκατήρανται.

[10]καὶ ἐθυμώθη Βαλὰκ ἐπὶ Βαλαάμ, καὶ συνεκρότησεν ταῖς χερσὶν αὐτοῦ, καὶ εἶπεν Βαλὰκ
πρὸς Βαλαάμ Καταρᾶσθαι τὸν ἐχθρόν μου κέκληκά σε, καὶ ἰδοὺ εὐλογῶν εὐλόγησας τρίτον
τοῦτο· [11]νῦν οὖν φεῦγε εἰς τὸν τόπον σου· εἶπα Τιμήσω σε, καὶ νῦν ἐστέρησέν σε κύριος τῆς
δόξης. [12]καὶ εἶπεν Βαλαὰμ πρὸς Βαλάκ Οὐχὶ καὶ τοῖς ἀγγέλοις σου, οὓς ἀπέστειλας πρός
με, ἐλάλησα λέγων [13]Ἐάν μοι δῷ Βαλὰκ πλήρη τὸν οἶκον αὐτοῦ ἀργυρίου καὶ χρυσίου, οὐ
δυνήσομαι παραβῆναι τὸ ῥῆμα κυρίου ποιῆσαι αὐτὸ πονηρὸν ἢ καλὸν παρ’ ἐμαυτοῦ· ὅσα ἂν
εἴπῃ ὁ θεός, ταῦτα ἐρῶ; [14]καὶ νῦν ἰδοὺ ἀποτρέχω εἰς τὸν τόπον μου· δεῦρο συμβουλεύσω σοι,
τί ποιήσει ὁ λαὸς οὗτος τὸν λαόν σου ἐπ’ ἐσχάτου τῶν ἡμερῶν. [15]Καὶ ἀναλαβὼν τὴν
παραβολὴν αὐτοῦ εἶπεν

Φησὶν Βαλαὰμ υἱὸς Βεώρ,
φησὶν ὁ ἄνθρωπος ὁ ἀληθινῶς ὁρῶν,
[16]ἀκούων λόγια θεοῦ,
ἐπιστάμενος ἐπιστήμην παρὰ ὑψίστου,
καὶ ὅρασιν θεοῦ ἰδὼν,
ἐν ὕπνῳ, ἀποκεκαλυμμένοι οἱ ὀφθαλμοὶ αὐτοῦ·
[17]Δείξω αὐτῷ, καὶ οὐχὶ νῦν·
μακαρίζω, καὶ οὐκ ἐγγίζει·
ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ,
καὶ ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραήλ,
καὶ θραύσει τοὺς ἀρχηγοὺς Μωάβ,
καὶ προνομεύσει πάντας υἱοὺς Σήθ.
[18]καὶ ἔσται Ἐδὼμ κληρονομία,
καὶ ἔσται κληρονομία Ἠσαῦ ὁ ἐχθρὸς αὐτοῦ·
καὶ Ἰσραὴλ ἐποίησεν ἐν ἰσχύι.
[19]καὶ ἐξεγερθήσεται ἐξ Ἰακώβ,
καὶ ἀπολεῖ σῳζόμενον ἐκ πόλεως.
[20]καὶ ἰδὼν τὸν Ἀμαλὴκ καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ εἶπεν
Ἀρχὴ ἐθνῶν Ἀμαλήκ,
καὶ τὸ σπέρμα αὐτῶν ἀπολεῖται.
[21]καὶ ἰδὼν τὸν Καιναῖον καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ εἶπεν
Ἰσχυρὰ ἡ κατοικία σου·
καὶ ἐὰν θῇς ἐν πέτρᾳ τὴν νοσσιάν σου,
[22]καὶ ἐὰν γένηται τῷ Βεὼρ νοσσιὰ πανουργίας,
Ἀσσύριοί σε αἰχμαλωτεύσουσιν.
[23]καὶ ἰδὼν τὸν Ὢγ καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ εἶπεν
Ὢ ὤ, τίς ζήσεται, ὅταν θῇ ταῦτα ὁ θεός;
[24]καὶ ἐξελεύσεται ἐκ χειρὸς Κιτιαίων,
καὶ κακώσουσιν Ἀσσούρ, καὶ κακώσουσιν Ἐβραίους,
καὶ αὐτοὶ ὁμοθυμαδὸν ἀπολοῦνται.

[25]καὶ ἀναστὰς Βαλαὰμ ἀπῆλθεν ἀποστραφεὶς εἰς τὸν τόπον αὐτοῦ, καὶ Βαλὰκ ἀπῆλθεν
πρὸς ἑαυτόν.

**33**

[1]Καὶ οὗτοι σταθμοὶ τῶν υἱῶν Ἰσραήλ, ὡς ἐξῆλθον ἐκ γῆς Αἰγύπτου σὺν δυνάμει αὐτῶν ἐν
χειρὶ Μωυσῆ καὶ Ἀαρών· [2]καὶ ἔγραψεν Μωυσῆς τὰς ἀπάρσεις αὐτῶν καὶ τοὺς σταθμοὺς
αὐτῶν διὰ ῥήματος κυρίου, καὶ οὗτοι σταθμοὶ τῆς πορείας αὐτῶν. [3]ἀπῆραν ἐκ Ῥαμεσσῆ τῷ
μηνὶ τῷ πρώτῳ τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου· τῇ ἐπαύριον τοῦ πάσχα
ἐξῆλθον οἱ υἱοὶ Ἰσραὴλ ἐν χειρὶ ὑψηλῇ ἐναντίον πάντων τῶν Αἰγυπτίων, [4]καὶ οἱ Αἰγύπτιοι

ἔθαπτον ἐξ αὐτῶν τοὺς τεθνηκότας πάντας, οὓς ἐπάταξεν κύριος, πᾶν πρωτότοκον ἐν γῇ
Αἰγύπτῳ, καὶ ἐν τοῖς θεοῖς αὐτῶν ἐποίησεν τὴν ἐκδίκησιν κύριος. [5]καὶ ἀπάραντες οἱ υἱοὶ
Ἰσραὴλ ἐκ Ῥαμεσσὴ παρενέβαλον εἰς Σοκχώθ. [6]καὶ ἀπῆραν ἐκ Σοκχὼθ καὶ παρενέβαλον εἰς
Βουθάν, ὅ ἐστιν μέρος τι τῆς ἐρήμου. [7]καὶ ἀπῆραν ἐκ Βουθὰν καὶ παρενέβαλον ἐπὶ στόμα
Ἑϊρώθ, ὅ ἐστιν ἀπέναντι Βεελσεπφών, καὶ παρενέβαλον ἀπέναντι Μαγδώλου. [8]καὶ ἀπῆραν
ἀπέναντι Ἑϊρὼθ καὶ διέβησαν μέσον τῆς θαλάσσης εἰς τὴν ἔρημον, καὶ ἐπορεύθησαν ὁδὸν
τριῶν ἡμερῶν διὰ τῆς ἐρήμου αὐτοὶ καὶ παρενέβαλον ἐν Πικρίαις. [9]καὶ ἀπῆραν ἐκ Πικριῶν
καὶ ἦλθον εἰς Αἰλίμ· καὶ ἐν Αἰλὶμ δώδεκα πηγαὶ ὑδάτων καὶ ἑβδομήκοντα στελέχη
φοινίκων, καὶ παρενέβαλον ἐκεῖ παρὰ τὸ ὕδωρ. [10]καὶ ἀπῆραν ἐξ Αἰλὶμ καὶ παρενέβαλον ἐπὶ
θάλασσαν ἐρυθράν. [11]καὶ ἀπῆραν ἀπὸ θαλάσσης ἐρυθρᾶς καὶ παρενέβαλον εἰς τὴν ἔρημον
Σίν. [12]καὶ ἀπῆραν ἐκ τῆς ἐρήμου Σὶν καὶ παρενέβαλον εἰς Ῥαφακά. [13]καὶ ἀπῆραν ἐκ
Ῥαφακὰ καὶ παρενέβαλον ἐν Αἰλούς. [14]καὶ ἀπῆραν ἐξ Αἰλοὺς καὶ παρενέβαλον ἐν Ῥαφιδίν,
καὶ οὐκ ἦν ὕδωρ τῷ λαῷ πιεῖν ἐκεῖ. [15]καὶ ἀπῆραν ἐκ Ῥαφιδὶν καὶ παρενέβαλον ἐν τῇ ἐρήμῳ
Σινά. [16]καὶ ἀπῆραν ἐκ τῆς ἐρήμου Σινὰ καὶ παρενέβαλον ἐν Μνήμασιν τῆς ἐπιθυμίας. [17]καὶ
ἀπῆραν ἐκ Μνημάτων τῆς ἐπιθυμίας καὶ παρενέβαλον ἐν Ἀσηρώθ. [18]καὶ ἀπῆραν ἐξ Ἀσηρὼθ
καὶ παρενέβαλον ἐν Ῥαθαμά. [19]καὶ ἀπῆραν ἐκ Ῥαθαμὰ καὶ παρενέβαλον ἐν Ῥεμμὼν Φάρες.
[20]καὶ ἀπῆραν ἐκ Ῥεμμὼν Φάρες καὶ παρενέβαλον ἐν Λεβωνά. [21]καὶ ἀπῆραν ἐκ Λεβωνὰ καὶ
παρενέβαλον εἰς Δεσσά. [22]καὶ ἀπῆραν ἐκ Δεσσὰ καὶ παρενέβαλον εἰς Μακελάθ. [23]καὶ
ἀπῆραν ἐκ Μακελὰθ καὶ παρενέβαλον εἰς Σάφαρ. [24]καὶ ἀπῆραν ἐκ Σάφαρ καὶ παρενέβαλον
εἰς Χαραδάθ. [25]καὶ ἀπῆραν ἐκ Χαραδὰθ καὶ παρενέβαλον εἰς Μακηλώθ. [26]καὶ ἀπῆραν ἐκ
Μακηλὼθ καὶ παρενέβαλον εἰς Κατάαθ. [27]καὶ ἀπῆραν ἐκ Κατάαθ καὶ παρενέβαλον εἰς
Τάραθ. [28]καὶ ἀπῆραν ἐκ Τάραθ καὶ παρενέβαλον εἰς Ματεκκά. [29]καὶ ἀπῆραν ἐκ Ματεκκὰ
καὶ παρενέβαλον εἰς Ἀσελμωνά. [30]καὶ ἀπῆραν ἐκ Ἀσελμωνὰ καὶ παρενέβαλον εἰς
Μασουρούθ. [31]καὶ ἀπῆραν ἐκ Μασουροὺθ καὶ παρενέβαλον εἰς Βαναιακάν. [32]καὶ ἀπῆραν ἐκ
Βαναιακὰν καὶ παρενέβαλον εἰς τὸ ὄρος Γαδγάδ. [33]καὶ ἀπῆραν ἐκ τοῦ ὄρους Γαδγὰδ καὶ
παρενέβαλον εἰς Ἐτεβάθα. [34]καὶ ἀπῆραν ἐξ Ἐτεβάθα καὶ παρενέβαλον εἰς Ἑβρωνά. [35]καὶ
ἀπῆραν ἐξ Ἑβρωνὰ καὶ παρενέβαλον εἰς Γεσιὼν Γάβερ. [36]καὶ ἀπῆραν ἐκ Γεσιὼν Γάβερ καὶ
παρενέβαλον ἐν τῇ ἐρήμῳ Σίν. καὶ ἀπῆραν ἐκ τῆς ἐρήμου Σὶν καὶ παρενέβαλον εἰς τὴν
ἔρημον Φαράν, αὕτη ἐστὶν Καδής. [37]καὶ ἀπῆραν ἐκ Καδὴς καὶ παρενέβαλον εἰς Ὢρ τὸ ὄρος
πλησίον γῆς Ἐδώμ· [38]καὶ ἀνέβη Ἀαρὼν ὁ ἱερεὺς διὰ προστάγματος κυρίου καὶ ἀπέθανεν
ἐκεῖ, ἐν τῷ τεσσαρακοστῷ ἔτει τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου τῷ μηνὶ τῷ
πέμπτῳ μιᾷ τοῦ μηνός· [39]καὶ Ἀαρὼν ἦν τριῶν καὶ εἴκοσι καὶ ἑκατὸν ἐτῶν, ὅτε ἀπέθνησκεν
ἐν Ὢρ τῷ ὄρει. [40]καὶ ἀκούσας ὁ Χανανὶς βασιλεὺς Ἀράδ, καὶ οὗτος κατῴκει ἐν γῇ Χανάαν,
ὅτε εἰσεπορεύοντο οἱ υἱοὶ Ἰσραήλ. [41]καὶ ἀπῆραν ἐξ Ὢρ τοῦ ὄρους καὶ παρενέβαλον εἰς
Σελμωνά. [42]καὶ ἀπῆραν ἐκ Σελμωνὰ καὶ παρενέβαλον εἰς Φινώ. [43]καὶ ἀπῆραν ἐκ Φινὼ καὶ
παρενέβαλον εἰς Ὠβώθ. [44]καὶ ἀπῆραν ἐξ Ὠβὼθ καὶ παρενέβαλον ἐν Γαὶ ἐν τῷ πέραν ἐπὶ τῶν
ὁρίων Μωάβ. [45]καὶ ἀπῆραν ἐκ Γαὶ καὶ παρενέβαλον εἰς Δαιβὼν Γάδ. [46]καὶ ἀπῆραν ἐκ Δαιβὼν
Γὰδ καὶ παρενέβαλον ἐν Γελμὼν Δεβλαθάιμ. [47]καὶ ἀπῆραν ἐκ Γελμὼν Δεβλαθάιμ καὶ
παρενέβαλον ἐπὶ τὰ ὄρη τὰ Ἀβαρὶμ ἀπέναντι Ναβαύ. [48]καὶ ἀπῆραν ἀπὸ ὀρέων Ἀβαρὶμ καὶ
παρενέβαλον ἐπὶ δυσμῶν Μωὰβ ἐπὶ τοῦ Ἰορδάνου κατὰ Ἰεριχώ, [49]καὶ παρενέβαλον παρὰ
τὸν Ἰορδάνην ἀνὰ μέσον Αἰσιμὼθ ἕως Βελσαττὶμ κατὰ δυσμὰς Μωάβ.

[50]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν ἐπὶ δυσμῶν Μωὰβ παρὰ τὸν Ἰορδάνην κατὰ Ἰεριχὼ
λέγων [51]Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς Ὑμεῖς διαβαίνετε τὸν Ἰορδάνην
εἰς γῆν Χανάαν, [52]καὶ ἀπολεῖτε πάντας τοὺς κατοικοῦντας ἐν τῇ γῇ πρὸ προσώπου ὑμῶν,
καὶ ἐξαρεῖτε τὰς σκοπιὰς αὐτῶν καὶ πάντα τὰ εἴδωλα τὰ χωνευτὰ αὐτῶν ἀπολεῖτε αὐτά,
καὶ πάσας τὰς στήλας αὐτῶν ἐξαρεῖτε, [53]καὶ ἀπολεῖτε πάντας τοὺς κατοικοῦντας τὴν γῆν
καὶ κατοικήσετε ἐν αὐτῇ· ὑμῖν γὰρ δέδωκα τὴν γῆν αὐτῶν ἐν κλήρῳ. [54]καὶ
κατακληρονομήσετε τὴν γῆν αὐτῶν ἐν κλήρῳ κατὰ φυλὰς ὑμῶν· τοῖς πλείοσιν πληθυνεῖτε
τὴν κατάσχεσιν αὐτῶν καὶ τοῖς ἐλάττοσιν ἐλαττώσετε τὴν κατάσχεσιν αὐτῶν· εἰς ὃ ἂν

ἐξέλθῃ τὸ ὄνομα αὐτοῦ ἐκεῖ, αὐτοῦ ἔσται· κατὰ φυλὰς πατριῶν ὑμῶν κληρονομήσετε. [55]ἐὰν
δὲ μὴ ἀπολέσητε τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς ἀπὸ προσώπου ὑμῶν, καὶ ἔσται οὓς ἂν
καταλίπητε ἐξ αὐτῶν, σκόλοπες ἐν τοῖς ὀφθαλμοῖς ὑμῶν καὶ βολίδες ἐν ταῖς πλευραῖς
ὑμῶν καὶ ἐχθρεύσουσιν ἐπὶ τῆς γῆς, ἐφ' ἣν ὑμεῖς κατοικήσετε, [56]καὶ ἔσται καθότι
διεγνώκειν ποιῆσαι αὐτούς, ποιήσω ὑμῖν.